ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν·

μιμοῦ τὰ τῶν βασιλέων ἤθη· καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς, ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥστε σοι συμβήσεται παρὰ τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν· πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέντοι νόμιζε τὸν ἐκείνων τρόπον· ὥσπερ γὰρ, τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν·

εἰς ἀρχὴν καταστὰς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν· ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου, μὴ πλουσιώτερος· ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων, ὁ παρὰ τοῦ πλήθους ἔπαινος· μηδενὶ πονηρῷ πράγματι, μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς·

παρασκεύαζε σεαυτὸν, πλεονεκτεῖν μὲν δύνασθαι· ἀνέχου δὲ τὸ ἴσον ἔχων, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν· μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν, ζῶντας μόνον ὠφελεῖ· ἡ δὲ, καὶ τελευτήσασι δόξαν παρασκευάζει· κἀκείνων μὲν, τοῖς φαύλοις μέτεστι·